www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΙΑΤΡΟΥΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ

# ΚΟΣΜΑΝ, ΔΑΜΙΑΝΟΝ ΚΑΙ ΠΑΝΤΕΛΕΗΜΟΝΑ

**Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** 1997 ***

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ & ΘΑΥΜΑΤΟΥΡΓΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ**
**ΚΟΣΜΑΝ, ΔΑΜΙΑΝΟΝ & ΠΑΝΤΕΛΕΗΜΟΝΑ**
* * *

Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον

Ἦχος δ'. Ὁ ὑψωθείς.

Τριὰς κλεινὴ θαυματουργῶν Ἀναργύρων, Δαμιανὲ Κοσμᾶ τε Παντελεῆμον, Τριάδα ἱκετεύσατε Φιλάνθρωπον Θεόν, ὑπὲρ τῶν ἐκ πίστεως, προσκυνούντων εἰκόνα, ἥτις πεφανέρωται, ἐν τῇ πόλει τοῦ Βόλου, καὶ θεραπεύσατε ὡς θεῖοι ἰατροί, ψυχῶν σωμάτων, τὰ πάθη ὡς τάχιστα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Οὐ σιωπήσομεν.

**Ὁ Ν', μεθ᾽ ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
***"Παντελεήμονα, Κοσμᾶν, Δαμιανὸν λιτάζω. Ἀ(θανάσιος)".***

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην Φαραώ.

Παντελεῆμον ἰατρὲ φιλάνθρωπε, Δαμιανὲ καὶ Κοσμᾶ, δυὰς αὐταδέλφων, σύντρεις δὲ Ἀνάργυροι, προσδέξασθε τὴν δέησιν, τῶν θερμῶς ἐξαιτούντων, νόσων παθῶν τε τὴν ἴασιν, καὶ τῶν δυσαχθῶν τὴν ἀπέλασιν.

Ἀκολουθοῦντες τοῦ Χριστοῦ Ἀνάργυροι, τῷ παραδείγματι, δωρεὰν τὰς νόσους, πάντων ἰατρεύετε, καὶ γὰρ ὡς στάθμην ἔχετε, τὴν φιλάνθρωπον ῥῆσιν, ὅσα ὡς δῶρον εἰλήφατε, ταῦτα δωρεὰν δότε ἅπασι.

Νόσους ποικίλας ἐξιᾶσθε Ἅγιοι, τῇ ἐπικλήσει Χριστοῦ, ταύτῃ γὰρ ἡ πᾶσα, φύσις ὑποτέτακται, καὶ τὴν χαρὰν χαρίζεσθε, τοῖς πρὶν οὖσιν ἐν λύπαις, ὡς μαθηταὶ τοῦ διδάξαντος, ἐν Κυρίῳ πάντοτε χαίρετε.

Θεοτοκίον

Τὰς ἀσθενείας τῶν σῶν δούλων Δέσποινα, ταχὺ ἐκδίωξον, καὶ ὑγίειαν δίδου, τοῖς ἐξαιτουμένοις σε, σὺ γὰρ ἀπεκύησας, Ἰατρὸν καὶ Σωτῆρα, τὸν ἐξιώμενον ἅπασαν, νόσον τοῦ βροτείου φυράματος.

Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἐχαρίτωσεν ὄντως, ὁ Ἀγαθὸς Κύριος, πόλιν τὴν τοῦ Βόλου εὑρέσει, εἰκόνος Ἅγιοι, καὶ φρέαρ ὤρυξε, θαυματουργίας ποικίλης, τὸν ναὸν Ἀνάργυροι, ὑμῶν τὸν ἅγιον.

Λύσιν πᾶσι διδόντες, ὡς ἰατροὶ τάχιστοι, νόσους ἀπελαύνετε τούτων, κλεινοὶ Ἀνάργυροι, καὶ γὰρ οὐ δύναται, φέρειν ὑμῶν θείαν χάριν, ἅπασα ἀσθένεια, ψυχῆς καὶ σώματος.

Ἐν ψυχῆς ἀσθενείαις, τὴν δωρεὰν ἴασιν, καὶ ταῖς ἀλγηδόσι σωμάτων, τὴν ἀνακούφισιν, πᾶσι παρέχετε, τριὰς σεπτῶν Ὀναργύρων, τοῦ Κυρίου δύναμιν, ἐπιδεικνύμενοι.

Θεοτοκίον

Ἡ βεβαία ἐλπίς μου, καὶ προστασία ὑπέρμαχος, σπεῦσον ἐξελοῦ τὴν ψυχήν μου, νῦν κινδυνεύουσαν, καὶ νόσον Δέσποινα, δίωξον πόῤῥω εὐχαῖς σου, πρὸς τὸν πολυεύσπλαχνον, Υἱὸν καὶ Κύριον.

Διάσωσον τριὰς σεπτῶν Ἀναργύρων, τοὺς προστρέχοντας θείᾳ εἰκόνι σου, καὶ ἴασαι ἀσθενειῶν, ἀλγηδόνας παντοίας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Κοσμᾶ θαυμαστέ, Δαμιανὲ πανάριστε, δυὰς ἰατρῶν, σὺν τῷ Παντελεήμονι, ἱκεσίας δέξασθε, αἰτουμένων τὴν ἴασιν, παθῶν δυσαχθῶν, καὶ νόσων ὡς Ἀνάργυροι.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Μνήσθητέ μου Ἀνάργυροι, κλίνῃ ἀπογνώσεως κακῶς ὄντος μου, καὶ ἐλπίδος μοι χαρίσασθε, ὡς παντευεργέται τὴν ἀνάνευσιν.

Ὁλικῶς θεραπεύσατε, ἐκ τῶν ἐνοχλούντων παθῶν Ἀνάργυροι, τοὺς σεπτὸν ὑμῶν εἰκόνισμα, πόθῳ προσκυνοῦντας μετὰ πίστεως.

Νοῦν ψυχὴν καὶ διάνοιαν, ἅγιοι Ἀνάργυροι ἐκκαθάρατε, ἀπὸ πάσης ἐνοχλήσεως, καὶ ἐπιβουλῆς τοῦ πολεμήτορος.

Θεοτοκίον

Ἀδιόρθωτον μένοντα, ἐκ τῆς ἀμελείας μου Παναμώμητε, μετανοίας πῦρ ὑπάναψον, τῇ φλογὶ εὐχῶν σου πρὸς τὸν Κύριον.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Κύκλῳ τῆς ψυχῆς, οἱ ἐχθροὶ περιπατοῦσί μου, καὶ σκοτασμὸν ἐμβάλλουσιν Ἀνάργυροι, ὅθεν σύντρεις, τούτους πόῤῥω ἐκδιώξατε.

Ὅλον με δεινῶς, ἡλκωμένον τοῖς παθήμασιν, ὡς σαμαρεῖται ἐξιάσασθε, ἐπιχύσει, οἰνελαίου ὦ Ἀνάργυροι.

Σώσατε ταχύ, ὦ φιλάνθρωποι ᾿Ανάργυροι, τοὺς πνιγομένους βίου κύμασι, καὶ ἐκζητοῦντας, τὴν ὑμῶν θείαν ἐπέμβασιν.

Θεοτοκίον

Μῆτερ ἀγαθή, τῷ Χριστῷ ἡμᾶς οἰκείωσον, ὡς ξενωθέντας παραπτώμασι, τῇ ἀσαλεύτῳ, καὶ ταχείᾳ ἱκεσίᾳ σου.

Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

᾿Ανάργυροι, ἰατροὶ ὑπάρχοντες, ἐμισήσατε ἐπίγειον πλοῦτον, θησαυρισμόν, τῆς Κυρίου ἀγάπης, πεπλουτηκότες καὶ βίον κοσμήσαντες, ἰάσεσι παντοδαπαῖς, ἃς καὶ νῦν πρὸς ἡμᾶς ἐπιδείξατε.

Νοσήματα, ὡς φυγάδες οἴχονται, ἐπικλήσει τῶν ὑμῶν ὀνομάτων, σεπτὴ τριάς, ἰατρῶν ᾿Αναργύρων, ὡς κεκτημένων Τριάδος τὴν δύναμιν, ἣν πώποτε ὑπὲρ ἡμῶν, ἱλεοῦσθε φιλάδελφοι Ἅγιοι.

Δεόμενοι, τοῦ καλοῦ μὴ παύετε, ᾿Ιατροῦ ὦ ἰατροὶ νοσοκτόνοι, ὅπως ἀεί, ἐν ὑγίειᾳ ἀπτώτῳ, διατηρῇ τὰς ψυχὰς καὶ τὰ σώματα, εἰκόνα τὴν θαυματουργόν, προσκυνούντων ὑμῶν μετὰ πίστεως.

Θεοτοκίον

᾿Ανίατος, παρὰ σοὶ ἀσθένεια, οὐχ ὑπάρχει Παναγία Παρθένε, ὅτι τὸ οὖς, ὁ Δεσπότης σοι τείνει, ἱκετευούσῃ ὑπὲρ τῶν αἰτούντων σε, καὶ ἅπαντα ἀποπληροῖ, υἱικῇ εὐπειθείᾳ αἰτήματα.

Διάσωσον τριὰς σεπτῶν ᾿Αναργύρων, τοὺς προστρέχοντας θείᾳ εἰκόνι σου, καὶ ἴασαι ἀσθενειῶν, ἀλγηδόνας παντοίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.

www.tezaurliturgic.ro



Νοσημάτων βαρούμενοι πάθεσιν, πρὸς ναὸν τὸν ὑμῶν καταφεύγομεν, ἐξαιτοῦντες, τὴν ταχυτάτην καὶ ὀξεῖαν ἀῤῥωγήν, τριάς, θείων ἰατρῶν, πρὸς τὸν φιλάνθρωπον Θεόν, καὶ δυνάμενον ἅπαντα, λῦσαι δεσμὸν νοσώδη, δοῦναί τε τὴν ὑγίειαν, ἀσπαζομένοις εὐλαβῶς, τὸ σεπτὸν ὑμῶν εἰκόνισμα.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον*

(ι'1.5 - 8)

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε. Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

*Δόξα. Ταῖς τῶν Ἀναργύρων.*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

*καὶ τὸ προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ἔχοντες τὸ πλήρωμα, τῶν ἀρετῶν τὴν ἀγάπην, ἅγιοι Ἀνάργυροι, ὡς κρουνοὶ ἀέναοι, ταύτην βλύζετε, νόσους ἐκδιώκετε, πάθη ἐξιᾶσθε, καὶ ὑγίειαν ἀδιάσειστον, πᾶσι παρέχετε, τοῖς ὑμῖν ἐκ πόθου προσπίπτουσιν, εἰκόνες ἀκριβέσταται, τοῦ Κυρίου σύντρεις ὑπάρχοντες· ὅθεν τοὺς τιμῶντας, εἰκόνα τὴν ὑμῶν θαυματουργοί, ἐν εἰρηναίᾳ τηρήσατε, καταστάσει πάντοτε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

## Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μηδαμῶς ὕλης κτῆσιν, ἅγιοι Ἀνάργυροι ἐπιθυμήσαντες, προθύμως ἰατρείας, παρέσχετε νοσοῦσι, δι᾽ ἀγάπην τοῦ Πλάσαντος, ἣν καὶ ἡμῶν ταῖς ψυχαῖς, δωρήσασθε τελείως.

Ἰατρεῖον ἐδείχθη, ἄμισθον Ἀνάργυροι οἶκος ὁ τίμιος, ἐν ᾧ ἐναπετέθη, εἰκὼν ἡ σεβασμία, ἣν ὡς δῶρον πολύτιμον, ἡ πόλις Βόλου πλουτεῖ, ὑμᾶς ἀεὶ τιμῶσα.

Ἀγαπήσαντες πάντας, κατατρυχομένους ἀσθενείαις Ἅγιοι, ἐν πάσῃ ἐπιστήμῃ, καὶ θείᾳ βοηθείᾳ, ἰατρείαν παρείχετε, ἧς καὶ οἱ ψάλλοντες νῦν, τύχοιμεν ἀναργύρως.

### Θεοτοκίον

Ναὸν σώματος Μῆτερ, πάσῃ ἀνομίᾳ ἀσεβῶς ἐμόλυνα, καὶ πῶς τῷ Ὑπεράγνῳ, δυνήσομαι Δεσπότῃ, παραστῆναι ὁ ἄθλιος; διὸ βοῶ σαῖς εὐχαῖς, καθάρισόν με τάχει.

## Ὠιδὴ η'. Τὸν βασιλέα.

Οὐδὲν τοῦ βίου, ὑπὲρ Χριστὸν προτιμῶντες, καταφύγια ἐγένεσθε ἀγάπης, πᾶσιν ἀσθενοῦσιν, Ἀνάργυροι Κυρίου.

Νικῶνται φροῦδα, τῶν νοσημάτων τὰ πάθη, ἰατρῶν Ἀναργύρων ἱκεσίαις, ὧν ἐν εὐλαβείᾳ, εἰκόνα προσκυνοῦμεν.

Λύσατε ἄγχη, τὰ ψυχοφθόρα ταχέως, καὶ εἰρήνην δότε Ἅγιοι Κυρίου, ὅπως εὐλογῶμεν, Αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ἰάτρευσόν μου, τὸν λογισμὸν ἀσθενοῦντα, καὶ Κυρίου μακρύνοντά με Κόρη, τὴν ἑνωτικήν μοι, εὐχὴν χαριζομένη.

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ταλάντων τῶν δοθέντων παρὰ Θεοῦ, τραπεζῖται γεγόνατε ἄριστοι, εἰς ἑκατόν, τόκον ἀποδόντες χαροποιῶς, τῶν ἀσθενῶν Ἀνάργυροι, νόσους ἐκδιώκοντες ἀμισθί, διὸ παρακαλοῦμεν, ἡμῖν πολλὴν ἀγάπην, ἀνυστερόβουλον παράσχετε.

Ἀγάπης με ποιήσατε πληρωτήν, τῆς διπλῆς θεοφόροι Ἀνάργυροι, πρὸς τὸν Θεόν, καὶ τὸν ἀδελφόν μου ὥσπερ ὑμεῖς, διόλου ἠγαπήσατε, καὶ διηκονήσατε συμπαθῶς, ὅπως ἐν εὐφροσύνῃ, ἀσπάζωμαι εἰκόνα, τὴν εὑρεθεῖσαν διὰ θαύματος.

Ζηλώσαντες τὸν ἔρωτα τοῦ Θεοῦ, ἐγεγόνατε μάρτυρες τίμιοι, αἷμα ὑμῶν, σπείσαντες ὡς δῶρον πολυτελές, τὸ πρότερον ἰώμενοι, πάθη φιλανθρώπως τῶν ἀδελφῶν· διὸ Παντελεῆμον, Κοσμᾶ Δαμιανέ τε, δέξασθε αἶνον ἡμῶν δίκαιον.

Ὦ θείων Ἀναργύρων σεπτὴ τριάς, τὴν Τριάδα ἀεὶ ἱκετεύετε, ὅπως ἡμῶν, πάθη ἐκδιώξῃ ἀπὸ ψυχῶν, καὶ τῶν σωμάτων τάχιστα, ἵνα εὐγνωμόνως τὴν ὀφειλήν, ἐν ὕμνοις ἀποδῶμεν, καὶ βίῳ χρισταρέστῳ, τοῦ Παραδείσου ἐπιτύχωμεν.

Θεοτοκίον

Ἀγάπης τῶν ὑλαίων ξένους ἡμᾶς, διατήρει Πανάμωμε Δέσποινα, καὶ τὰς ψυχάς, ἅρμοσον Υἱῷ σου ἀγαπητῷ, ἀγάπῃ κόσμον

ἅπαντα, πλάσαντι καὶ τοῦτον διηνεκῶς, ἀγάπῃ συντηροῦντι, καὶ τῇ αὐτοῦ ἀγάπῃ, χοροὺς Ἁγίων κατευφραίνοντι.

*Ἄξιόν ἐστι... καὶ τὰ*

## Μεγαλυνάρια

Σὺν Παντελεήμονι θαυμαστῷ, Κοσμᾶν ἰατῆρα, καὶ τὸν θεῖον Δαμιανόν, δεῦτε μετὰ πόθου, τιμήσωμεν βοῶντες· Ἀνάργυροι Κυρίου, ἡμᾶς λυτρώσασθε.

Νέα πεφανέρωται Σιλωάμ, κολυμβήθρα νόσους, ἰωμένη τῶν ἀσθενῶν, ὁ ναὸς ὁ θεῖος, τριάδος Ἀναργύρων, ἐν ᾧ εἰκὼν ἁγία, τούτων φυλάττεται.

Ὦ χριστομαρτύρητοι ἰατροί, τῆς φιλαδελφίας, οἱ ἀκένωτοι χορηγοί, σύντρεις τὴν Τριάδα, πρεσβεύετε ἀπαύστως, ψυχῶν καὶ τῶν σωμάτων, νόσους ἰάσασθαι.

*Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί....*

Τρισάγιον κλπ.

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

### Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Τοῦ Παντελεήμονος Θεοῦ, ὄντες μιμηταὶ κατὰ πάντα, σεπτοὶ Ἀνάργυροι, εὐμενῶς προσδέξασθε τὰς ἱκεσίας ἡμῶν, αἰτουμένων τὴν ἄφεσιν, ποικίλων πταισμάτων, καὶ σωμάτων ἴασιν, ἐξ ἀλγηδόνων πολλῶν, ὅπως ἰατροὶ ἀθλοφόροι, τὴν ὑμῶν ἁγίαν εἰκόνα, προσκυνῶμεν θαύματα ἐκβλύζουσαν.

*Δέσποινα πρόσδεξαι.*
*Τὴν πᾶσαν ἐλπίδα μου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Δι᾽ εὐχῶν.

Στίχοι

*Ἣν ἀπώλεσα πρωτόκτιστον εἰκόνα,*
*Θαυματουργῶς εὕροιτε, Ἀνάργυροί μοι.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ